Universitätsbibliothek Paderborn

# Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

VI. Sarmatarum subactio, cùm servi adversus dominos rebellassent.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

νικήσας. Σκύθαις μὲν γὰρ καὶ δασμοὺς οἱ πρόσθεν ἐτέλουν ἄρχοντες. Ῥωμαῖοί τε βαρβάροις ἐδούλευον, εἰσφοραῖς ἐτησίοις. οὐκ ἦν δ' ἂν τοῦτο βασιλεῖ φορητὸς ὁ λόγος. οὐδὲ τῷ νικητῇ καλὸν ἐνομίζετο, ταὐτὰ τοῖς ἔμπροσθεν προσφέρειν· τῷ δ' αὐτοῦ ἐπιθαρρῶν Σωτῆρι, τὸ νικητικὸν τρόπαιον καὶ τούτοις ἐπανατείνας, ἐν ὀλίγῳ καιρῷ πάντας παρεστήσατο. ἄρτι μὲν τοὺς ἀφηνιῶντας, στρατιωτικῇ σωφρονίσας χειρί. ἄρτι δὲ λογικαῖς πρεσβείαις τοὺς λοιποὺς ἡμερώσας, ἐξ ἀνόμου τε καὶ θηριώδους βίου, ἐπὶ τὸ λογικὸν καὶ νόμιμον μεθαρμοσάμενος. οὕτω δ' οὖν Σκύθαι Ῥωμαίοις ἔγνωσάν ποτε δουλεύειν.

nos. Scythis quidem superiores etiam Imperatores tributa pendebant; & barbaris Romani reipsa serviebant, annuam solventes pecuniam. Verùm Imperator hanc indignitatem ferre non potuit; nec victori Principi decorum esse existimavit, eadem pendere quæ priores Principes pependissent. Itaque Servatoris sui auxilio fretus, triumphali signo ac tropæo in eos etiam illato, brevi cunctos subegit. Ac resistentes quidem & contumaces armis domuit: reliquos prudentibus legationibus mitigans, à ferina legúmque experte vita ad humanam civilemque traduxit. Hoc modo Scythæ Romanis tandem parere didicerunt.

## ΚΕΦΑΛΑΙΟΝ ς'.

Σαυροματῶν ὑποταγὴ, προφάσει τῆς τῶν δούλων ἐπαναστάσεως.

Σαυρομάτας δ' αὐτὸς ὁ Θεὸς ὑπὸ τοῖς Κωνσταντίνου ποσὶν ἤλαυνεν, ὧδέ πη τοὺς ἄνδρας βαρβαρικῷ φρονήματι γαυρουμένους χειρωσάμενος. Σκυθῶν γὰρ αὐτοῖς ἐπαναστάντων, τοὺς οἰκέτας ὥπλιζον οἱ δεσπόται, πρὸς ἄμυναν τῶν πολεμίων· ἐπεὶ δ' ἐκράτουν οἱ δοῦλοι, κατὰ τῶν δεσποτῶν ἤραντο τὰς ἀσπίδας, πάντας τ' ἤλαυνον τῆς οἰκείας· οἱ δὲ, λιμένα σωτηρίας οὐκ ἄλλον ἢ μόνον Κωνσταντῖνον εὕραντο· ὁ δ' οἷα σώζειν εἰδὼς, τούτους πάντας ὑπὸ τῇ Ῥωμαίων εἰσεδέχετο χώρᾳ, ἐν οἰκείοις τε κατέλεγε στρατοῖς τοὺς ἐπιτηδείους· τοῖς δ' ἄλλοις τῶν πρὸς τὴν ζωὴν ἀναγκαίων εἵνεκα, χώρας εἰς γεωργίας διένεμεν· ὡς ἐπὶ καλῷ τὴν συμφορὰν αὐτοῖς ὁμολογεῖν γεγενῆσθαι, Ῥωμαϊκῆς ἐλευθερίας ἀντὶ βαρβάρου θηριωδίας ἀπολαύουσιν. οὕτω δὴ Θεὸς αὐτῷ παντοῖα φῦλα βαρβάρων ὑπέταττε.

## Caput VI.

*Sarmatæ subacti, cum servi adversus dominos rebellassent.*

AT Sarmatas Deus ipse Constantini pedibus substravit, & homines barbarico fastu intumescentes hoc subegit modo. Nam cùm Scythæ bellum eis intulissent, Sarmatæ servos suos ut hostibus resisterent, armaverant. Servi partâ de hostibus victoriâ, arma in dominos vertere cœperunt, cunctósque patriis sedibus expulerunt. Hi verò nullum alium salutis portum quàm Constantinum reperere. Qui servare homines assuetus, universos intra fines Imperii Romani recepit. Et eos quidem qui idonei essent, militaribus copiis adscripsit: reliquis ad necessaria vitæ subsidia agros colendos assignavit. Adeò ut feliciter sibi cessisse calamitatem suam ipsi faterentur; quippe qui barbaricam feritatem Romana libertate mutassent. Hac ratione Deus plurimas barbarorum gentes ejus adjunxit Imperio.

## ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Βαρβάρων διαφόρων πρεσβεῖαι, καὶ δωρεαὶ παρ' αὐτοῦ.

Συνεχεῖς γοῦν ἁπανταχόθεν οἱ διαπρεσβευόμενοι, δῶρα τὰ παρ' αὐτοῖς πολυτελῆ διεκόμιζον. ὡς καὶ αὐτοὺς ποτὲ παρατυχόντας πρὸ τῆς αὐλείου τῶν βασιλείων πυλῶν, στοιχηδὸν ἐν τάξει περίβλεπτα σχήματα βαρβάρων ἑστῶτα θεάσασθαι· οἷς ἔξαλλος μὲν ἡ στολή. διαλλάττων δ' ὁ τῶν σχημάτων τρόπος. κόμη τε τῆς κεφαλῆς καὶ γενείου πάμπολυ διεστῶσα. βλοσυρὰ δ' ἡ προσώπων βάρβαρος καὶ καταπλη-

## Caput VII.

*Variorum Barbarorum legationes, & munera eis ab Imperatore donata.*

QUippe ex omnib⁹ locis Legati continuè ad eum accedebant; quæcumq; apud ipsos pretiosissima habentur, dona ei offerentes. Adeò ut nos ipsi pro foribus palatii, varias formas atque habitus Barbarorum ordine stantium aliquando conspexerimus: quorum & vestitus & ornatus dispar erat: coma itē & barba longè dissimilis. Torvus aspectus & barbarus ac terrorem incutiens: corporum enormis proceritas. Et alio-